ἐλάχιστοι ἐν τοῖς τοῦ α πρὸς τὸν β καὶ τοῦ γ πρὸς τὸν δ καὶ ἔτι τοῖς τοῦ ε πρὸς τὸν ζ λόγοις· ἔστωσαν οἱ λμο· καὶ ἐπεί ἐστιν ὡς ὁ α πρὸς τὸν β, οὕτως ὁ ν πρὸς τὸν ξ· οἱ δὲ α β ἐλάχιστοι· οἱ δὲ ἐλάχιστοι μετροῦσι τοὺς τὸν αὐτὸν λόγον ἔχοντας ἰσάκις ὅ τε μείζων τὸν μείζονα καὶ ὁ ἐλάσσων τὸν ἐλάσσονα· τουτέστιν ὅ τε ἡγούμενος τὸν ἡγούμενον καὶ ὁ ἑπόμενος τὸν ἑπόμενον· ὁ β ἄρα τὸν ξ μετρεῖ· διὰ τὰ αὐτὰ δὴ καὶ ὁ γ τὸν ξ μετρεῖ· οἱ γ β ἄρα τὸν ξ μετροῦσιν· καὶ ὁ ἐλάχιστος ἄρα ὑπὸ τῶν β γ μετρούμενος τὸν ξ μετρήσει· ἐλάχιστος δὲ ὑπὸ τῶν β γ ~~μετρεῖται [illegible]~~ τὸν ξ μετρεῖ ὁ μείζων τὸν ἐλάσσονα· ὅπερ ἐστὶν ἀδύνατον· οὐκ ἄρα ἔσονταί τινες τῶν η θ κ λ ἐλάσσονες ἀριθμοὶ ἑξῆς ἀνάλογοι ἔν τε τῷ τοῦ α πρὸς τὸν β καὶ τῷ τοῦ γ πρὸς τὸν δ καὶ ἔτι τῷ τοῦ ε πρὸς τὸν ζ λόγῳ· μὴ μετρείτω δὴ ὁ ε τὸν κ· καὶ εἰλήφθω ὑπὸ τῶν ε κ ἐλάχιστος μετρούμενος ἀριθμὸς ὁ λ· καὶ ὁσάκις μὲν ὁ κ τὸν λ μετρεῖ, τοσαυτάκις καὶ ἑκάτερος τῶν η θ ἑκάτερον τῶν ν ξ μετρείτω· ὁσάκις δὲ ὁ ε τὸν λ μετρεῖ, τοσαυτάκις καὶ ὁ ζ τὸν ο μετρείτω· ἐπεὶ ἰσάκις ὁ θ τὸν ν μετρεῖ καὶ ὁ η τὸν ξ· ἔστιν ἄρα ὡς ὁ θ πρὸς τὸν η, οὕτως ὁ ν πρὸς τὸν ξ· ὡς δὲ ὁ θ πρὸς τὸν η, οὕτως ὁ α πρὸς τὸν β· καὶ ὡς ἄρα ὁ α πρὸς τὸν β, οὕτως ὁ ν πρὸς τὸν ξ· διὰ τὰ αὐτὰ δὴ καὶ ὡς ὁ γ πρὸς τὸν δ, οὕτως ὁ ξ πρὸς τὸν λ· πάλιν ἐπεὶ ἰσάκις ὁ ε τὸν λ μετρεῖ καὶ ὁ ζ τὸν ο· ἔστιν ἄρα ὡς ὁ ε πρὸς τὸν ζ οὕτως ὁ λ

πρὸς τὸν ο· οἱ ν ξ λ ο ἄρα ἑξῆς εἰσιν ἐν τοῖς τοῦ α πρὸς τὸν β καὶ τοῦ γ πρὸς τὸν δ καὶ τοῦ ε πρὸς τὸν ζ λόγοις· λέγω δὴ ὅτι καὶ ἐλάχιστοι· εἰ γὰρ μή εἰσιν οἱ ν ξ λ ο ἑξῆς ἐλάχιστοι ἐν τοῖς α β γ λόγοις· ἔσονταί τινες τῶν ν ξ λ ο ἐλάσσονες ἀριθμοὶ ἑξῆς ἐν τοῖς α β, γ δ, ε ζ λόγοις· ἔστωσαν οἱ π ρ σ τ· καὶ ἐπεί ἐστιν ὡς ὁ π πρὸς τὸν ρ, οὕτως ὁ α πρὸς τὸν β· οἱ δὲ α β ἐλάχιστοι· οἱ δὲ ἐλάχιστοι μετροῦσι τοὺς τὸν αὐτὸν λόγον ἔχοντας αὐτοῖς ἰσάκις ὁ ἡγούμενος τὸν ἡγούμενον καὶ ὁ ἑπόμενος τὸν ἑπόμενον· ὁ β ἄρα τὸν ρ μετρεῖ· διὰ τὰ αὐτὰ δὴ καὶ ὁ γ τὸν ρ μετρεῖ· οἱ β γ ἄρα τὸν ρ μετροῦσιν· καὶ ὁ ἐλάχιστος ἄρα ὑπὸ τῶν β γ μετρούμενος τὸν ρ μετρήσει· ἐλάχιστος δὲ ὑπὸ τῶν β γ μετρούμενός ἐστιν ὁ θ· ὁ θ ἄρα τὸν ρ μετρεῖ· καὶ ἔστιν ὡς ὁ θ πρὸς τὸν ρ, οὕτως ὁ κ πρὸς τὸν σ· καὶ ὁ κ ἄρα τὸν σ μετρεῖ· μετρεῖ δὲ καὶ ὁ ε τὸν σ· οἱ ε κ ἄρα τὸν σ μετροῦσιν· καὶ ὁ ἐλάχιστος ἄρα ὑπὸ τῶν ε κ μετρούμενος τὸν σ μετρήσει· ἐλάχιστος δὲ ὑπὸ τῶν ε κ μετρούμενός ἐστιν ὁ λ· ὁ λ ἄρα τὸν σ μετρεῖ ὁ μείζων τὸν ἐλάσσονα· ὅπερ ἐστὶν ἀδύνατον· οὐκ ἄρα ἔσονταί τινες τῶν ν ξ λ ο ἐλάσσονες ἀριθμοὶ ἑξῆς ἔν τε τοῖς τοῦ α πρὸς β καὶ τοῦ γ πρὸς δ.



BODLEIAN LIBRARY